3B

ἐπειδὴ δὲ οἱ ἐν τῷ Πειπαιεῖ ταῦτα τὰ πυρὰ ὁρῶσι, πολὺς γίγνεται ἐν τῷ λιμένι θόρυβος, πολλαὶ δὲ αἱ βοαί, οὐδαμοῦ δὲ κόσμος.
When they see these fire signals in the Peiraieus, a lot of commotion is taking place in the harbor, many shouts, and there is order nowhere.

νὺξ γάρ ἐστι, καὶ πολλοὶ ἄνδρες φαίνονται ἐν ταῖς ὁδοις καὶ τὰ πυρὰ θεῶνται.
For it is night, and many men appear in the streets and watch the fire signals.

Πρώταρχος καὶ Πῶλος ὁ γείτων ὁρῶσι τοὺς ἄνδρας.
Protarchos and his neighbor Polos see the men.

ΠΩΛΟΣ (ἔξω θεῖ ἐκ τῆς οἰκίας)
εἰπέ μοι, τίς ἡ βοὴ αὕτη; τίς ὁ θόρυβος οὗτος, ὦ γεῖτον; ἆρα οἶσθα; μέγας μὲν γὰρ ὁ θόρυβος, μεγάλη δὲ ἡ βοὴ ἡ ἐν τῷ λιμένι.

(outside, running from the house)
Tell me, what is this shouting? What is this din, neighbor? Do you know? There is a great din and shouting in the harbor.

ΠΡΩΤΑΡΧΟΣ (θεῖ οἴκαδε)
δεῦρο ἐλθέ, ὦ γεῖτον, καὶ ἐκεῖσε βλέπε. ἆρα οὐχ ὁρᾷς ἐκεῖνα τὰ πυρά; ἰδού. δῆλον γὰρ ὅτι ἐν κινδύνῳ ἐστὶν ἡ Σαλαμίς.

(running home)
Come here, neighbor, and look over there. Do you not see those fire signals? Look! Salamis is clearly in danger.

ΠΩΛΟΣ
εἰπέ μοι, ὦ γεῖτον, ποῖ τρέχεις;
Tell me, neighbor, where are you running?

ΠΡΩΤ.
οἴκαδε τρέχω ἔγωγε ἐπι τὰ ὅπλα. εἶτα δὲ εἰς τὴν ναῦν ταχέως πορεύομαι. δεινὸς γὰρ οὗτος ὁ κίνδυνος καὶ μέγας. ἀλλὰ διὰ τί σὺ οὐ μετὰ ἐμοῦ πορεύῃ;
I'm running home for weapons. Then I'm going quickly to the ship. For this danger is great and terrible. But why are you not going with me?

ΠΩΛΟΣ
καὶ δὴ μετὰ σοῦ πορεύομαι. ἀλλὰ μένε, ὦ φίλε.
Yes, I'm going with you. Wait, friend.

ΠΡΩΤ
ἀλλὰ ποῖ σὺ τρέχεις;
But where are you running?

ΠΩΛΟΣ
εἰς τὴν οἰκίαν ἔγωγε, ἐπὶ τὸν τροπωτῆρα καὶ τὸ ὑπηρέσιον. δῆλον γὰρ ὅτι ἐπὶ ναυμαχίαν πορευόμεθα.
To the house, for the oar loop and cushion. For clearly we are going to the naval battle.

οὕτως οὖν ἐκφέρει ὁ μὲν Πῶλος τόν τε τροπωτῆρα καὶ τὸ ὑπερέσιον, ὁ δὲ τοῦ Πρωτάρχου παῖς τά τε ὅπλα καὶ τὴν λαμπάδα ἐκφέρει.
So in this way, Polos carried the oar loop and the cushion, and the slave of Protarchos carried weapons and the torch.

ἔπειτα πορεύονται οἱ ἄνδρες πρὸς τὸν λιμένα.
Then the men went towards the harbor.